ἀντ. γ' τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ' ἰὼν θαητὸν ἀγῶνα νέμειν
ἀνδρῶν τ' ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
διφρηλασίας. ἐμὲ δ' ὦν πᾳ θυμὸς ὀ-
τρύνει φάμεν Ἐμμενίδαις
Θήρωνί τ' ἐλθεῖν κῦδος εὐίππων διδόν-
των Τυνδαριδᾶν, ὅτι πλείσταισι βροτῶν
40 ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,

ἐπ. γ' εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
εἰ δ' ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ
χρυσὸς αἰδοιέστατος,
43 νῦν δὲ πρὸς ἐσχατιὰν
Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
44 οἴκοθεν Ἡρακλέος
σταλᾶν. τὸ πόρσω δ' ἐστὶ σοφοῖς ἄβατον
45 κἀσόφοις. οὔ νιν διώξω. κεινὸς εἴην.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416113117/22 UNIVERSITÄT LEIPZIG